UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Dîtîqa (nouum) ḥadāta (testamentum)

Parisiis, 1584

Epistola Ioannis Apostoli tertia.

urn:nbn:de:hbz:466:1-39367

Visual Library

Ἡ ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΚΑ- θολικὴ Ἐπιστολὴ β. Κεφ. Α

1 Ὁ πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ, καὶ τοῖς τέκνοις αὐ-
τῆς, οὓς ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ, καὶ οὐκ ἐγὼ μόνος,
ἀλλὰ καὶ πάντες οἱ ἐγνωκότες τὴν ἀλήθειαν, 2 διὰ τὴν
ἀλήθειαν τὴν μένουσαν ἐν ἡμῖν, καὶ μεθ' ἡμῶν ἔσται εἰς τὸν αἰῶ-
να· 3 ἔσται μεθ' ὑμῶν χάρις, ἔλεος, εἰρήνη, ἀπὸ θεοῦ
πατρὸς, καὶ παρὰ κυρίου Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ πατρὸς, ἐν
ἀληθείᾳ καὶ ἀγάπῃ. 4 ἐχάρην λίαν ὅτι εὕρηκα ἐκ τῶν
τέκνων σου περιπατοῦντας ἐν ἀληθείᾳ, καθὼς ἐντολὴν
ἐλάβομεν παρὰ τοῦ πατρός. 5 καὶ νῦν ἐρωτῶ σε κυρία,
οὐχ ὡς ἐντολὴν γράφων σοι καινὴν, ἀλλὰ ἣν εἴχομεν ἀπ'
ἀρχῆς· ἵνα ἀγαπῶμεν ἀλλήλους. 6 καὶ αὕτη ἐστὶν ἡ
ἀγάπη, ἵνα περιπατῶμεν κατὰ τὰς ἐντολὰς αὐτοῦ. αὕτη ἐστὶν ἡ
ἐντολὴ, καθὼς ἠκούσατε ἀπ' ἀρχῆς, ἵνα ἐν αὐτῇ περιπατῆ-
τε. 7 ὅτι πολλοὶ πλάνοι εἰσῆλθον εἰς τὸν κόσμον, οἱ μὴ
ὁμολογοῦντες Ἰησοῦν Χριστὸν ἐρχόμενον ἐν σαρκί, οὗτός ἐστιν
ὁ πλάνος καὶ ὁ ἀντίχριστος. 8 βλέπετε ἑαυτούς, ἵνα μὴ
ἀπολέσωμεν ἃ εἰργασάμεθα, ἀλλὰ μισθὸν πλήρη
ἀπολάβωμεν. 9 πᾶς ὁ παραβαίνων καὶ μὴ μένων ἐν
τῇ διδαχῇ τοῦ Χριστοῦ, θεὸν οὐκ ἔχει. ὁ μένων ἐν τῇ διδαχῇ
τοῦ Χριστοῦ, οὗτος καὶ τὸν πατέρα καὶ τὸν υἱὸν ἔχει.
10 εἴ τις ἔρχεται πρὸς ὑμᾶς, καὶ ταύτην τὴν διδαχὴν
οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν, καὶ χαίρειν αὐτῷ
μὴ λέγετε. 11 ὁ γὰρ λέγων αὐτῷ χαίρειν, κοινωνεῖ τοῖς
ἔργοις αὐτοῦ τοῖς πονηροῖς. 12 πολλὰ ἔχων ὑμῖν γρά-
φειν, οὐκ ἐβουλήθην διὰ χάρτου καὶ μέλανος· ἀλλ' ἐλπίζω ἐλθεῖν
πρὸς ὑμᾶς, καὶ στόμα πρὸς στόμα λαλῆσαι· ἵνα ἡ χαρὰ
ἡμῶν ᾖ πεπληρωμένη. 13 ἀσπάζεταί σε τὰ τέκνα τῆς
ἀδελφῆς σου τῆς ἐκλεκτῆς. ἀμήν.

EPISTOLA IOANNIS *Apoſtoli ſecunda.* CAP I.

1 SENIOR, Electæ Dominæ, & natis eius,
quos ego diligo in veritate, & non ego ſo-
lus, ſed & omnes qui cognouerunt veritatem.
2 Propter veritatem quæ permanet in nobis,
& nobiſcum erit in æternum. 3 Sit vobiſcũ
gratia, miſericordia, pax à Deo Patre, & à Chri-
ſto Ieſu Filio Patris in veritate & charitate.
4 Gauiſus ſum valde quoniam inueni de filijs
tuis ambulantes in veritate, ſicut mandatum
accepimus à Patre. 5 Et nunc rogo te, Domi-
na, non tanquam mandatum nouum ſcribens
tibi, ſed quod habuimus ab initio, vt diliga-
mus alterutrum. 6 Et hæc eſt charitas, vt
ambulemus ſecundum mandata eius. Hoc eſt
enim mãdatum, vt quemadmodum audiſtis ab
initio, in eo ambuletis: 7 Quoniam multi
ſeductores exierunt in mundum, qui non con-
fitentur Ieſum Chriſtum veniſſe in carnem: hic
eſt ſeductor & Antichriſtus. 8 Videte voſ-
metipſos, ne perdatis quæ operati eſtis: ſed vt
mercedem plenam accipiatis. 9 Omnis qui
recedit, & nõ permanet in doctrina Chriſti, Deũ
nõ habet. Qui permanet in doctrina, hic & Pa-
trem & Filium habet. 10 Siquis venit ad vos,
& hanc doctrinam non affert: nolite recipere
eum in domum, nec Aue ei dixeritis. 11 Qui
enim dicit illi Aue, communicat operibus eius
malignis. Ecce, prædixi vobis: vt in die
Domini non confundamini. 12 Plura habens
vobis ſcribere, nolui per chartam & atramentũ:
ſpero enim me futurum apud vos, & os ad os
loqui, vt gaudium veſtrum plenum ſit.
13 Salutant te filij ſororis tuæ Electæ. Finis

Ἡ ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΚΑ- θολικὴ Ἐπιστολὴ γ. Κεφ. Α.

1 Ὁ πρεσβύτερος Γαΐῳ τῷ ἀγαπητῷ, ὃν ἐγὼ ἀγαπῶ ἐν
ἀληθείᾳ. 2 ἀγαπητέ, περὶ πάντων εὔχομαί σε
εὐοδοῦσθαι καὶ ὑγιαίνειν, καθὼς εὐοδοῦταί σου ἡ ψυχή.
3 ἐχάρην γὰρ λίαν ἐρχομένων ἀδελφῶν, καὶ μαρτυ-
ρούντων σου τῇ ἀληθείᾳ, καθὼς σὺ ἐν ἀληθείᾳ περιπατεῖς.
4 μειζοτέραν τούτων οὐκ ἔχω χαρὰν, ἵνα ἀκούω τὰ ἐμὰ
τέκνα ἐν ἀληθείᾳ περιπατοῦντα. 5 ἀγαπητέ, πιστὸν
ποιεῖς ὃ ἐὰν ἐργάσῃ εἰς τοὺς ἀδελφοὺς, καὶ εἰς τοὺς ξένους,
6 οἳ ἐμαρτύρησάν σου τῇ ἀγάπῃ ἐνώπιον ἐκκλησίας· οὓς
καλῶς ποιήσεις προπέμψας ἀξίως τοῦ θεοῦ. 7 ὑπὲρ
γὰρ τοῦ ὀνόματος αὐτοῦ ἐξῆλθον, μηδὲν λαμβάνοντες ἀπὸ τῶν
ἐθνῶν. 8 ἡμεῖς οὖν ὀφείλομεν ἀπολαμβάνειν τοὺς
τοιούτους, ἵνα συνεργοὶ γινώμεθα τῇ ἀληθείᾳ. 9 ἔγρα-
ψα τῇ ἐκκλησίᾳ· ἀλλ' ὁ φιλοπρωτεύων αὐτῶν Διοτρεφὴς
οὐκ ἐπιδέχεται ἡμᾶς.

EPISTOLA IOANNIS *Apoſtoli tertia.* CAP. I.

1 SEnior Gaio chariſſimo, quem ego diligo in
veritate. 2 Chariſſime, de omnibus oratio-
nem facio proſperè te ingredi & valere, ſicut
proſperè agit anima tua. 3 Gauiſus ſum
valde venientibus fratribus, & teſtimonium
perhibentibus veritati tuæ, ſicut tu in veritate
ambulas. 4 Maiorem horum nõ habeo gra-
tiam, quàm vt audiam filios meos in veritate
ambulare. 5 Chariſſime, fideliter facis quic-
quid operaris in fratres. 6 Et hoc in peregri
nos, qui teſtimoniũ reddiderũt charitati tuę in
conſpectu Eccleſiæ: quos benè facies, dedu-
cens dignè Deo, 7 Pro nomine enim eius pro-
fecti ſunt, nihil accipientes à Gentilibus.
8 Nos ergo debemus ſuſcipere huiuſcemodi:
vt cooperatores ſimus veritatis. 9 Scripſiſſem
forſitan Eccleſiæ: ſed is qui amat primatum
gerere in eis, Diotrepes, non recipit nos.

10 Propter hoc ſi venero, commoneam eius
opera quæ facit: verbis malignis garriens in
nos, & quaſi non ei iſta ſufficiant: neque ipſe
ſuſcipit fratres, & eos qui ſuſcipiunt, prohibet,
& de Eccleſia eiicit. 11 Chariſſime, noli imi-
tari malum, ſed quod bonum eſt. Qui bene fa-
cit, ex Deo eſt: qui male facit, non videt Deũ.
12 Demetrio teſtimonium redditur ab omni-
bus, & ab ipſa veritate, ſed & nos teſtimonium
perhibemus, & noſtis quoniam teſtimonium
noſtrum verum eſt.
13 Multa habui tibi ſcribere, ſed nolui per
atramentum & calamum ſcribere tibi.
24 Spero autem protinus te videre, & os ad
os loquemur. 15 Pax tibi. Salutant te amici.
Saluta tu amicos nominatim. Finis

B. IVDÆ APOSTOLI
Epiſtola catholica. CAP. I.

1 IVDAS Ieſu Chriſti ſeruus, frater autem
Iacobi, his qui ſunt in Deo Patre dilectis,
& Chriſto Ieſu conſeruatis, & vocatis. 2 Miſe-
ricordia vobis, & pax, & charitas adimpleatur.
3 Chariſſimi, omnem ſolicitudinẽ faciens ſcri-
bendi vobis de communi veſtra ſalute, neceſſe
habui ſcribere vobis: deprecans ſupercertari ſe-
mel traditę ſanctis fidei. 4 Subintroierũt enim
quidam homines (qui olim præſcripti in hoc
iudicium) impij, Domini noſtri gratiam tranſ-
ferentes in luxuriam, & ſolum Dominatorem,
& Dominum noſtrum Ieſum Chriſtũ negantes.
5 Commonere autem vos volo, ſcientes ſemel
omnia, quoniam Ieſus, populum de terra Æ-
gypti ſaluans, ſecundò eos qui non crediderunt,
perdidit. 6 Angelos verò qui non ſeruauerunt
ſuum principatum, ſed dereliquerunt ſuũ do-
micilium, in iudiciũ magni diei, vinculis ęternis
ſub caligine reſeruauit. 7 Sicut Sodoma &
Gomortha, & finitimæ ciuitates ſimili modo
exfornicatæ, & abeuntes poſt carnem alteram,
factę ſunt exemplum, ignis ęterni pœnam ſuſti-
nentes. 8 Similiter & hi carnem quidem ma-
culant, dominationem autem ſpernũt, maieſta-
tem autem blaſphemant. 9 Cùm Michaël
Archangelus, cum diabolo diſputans, altercare-
tur de Moyſi corpore: non eſt auſus iudicium
inferre blaſphemię, ſed dixit, Imperet tibi Deus.
10 Hi autem quæcunque quidem ignorant,
blaſphemant: quæcunque autem naturaliter
tanquam muta animalia, norunt, in his corrum-
puntur. 11 Væ illis, qui in via Cain abierunt: &
errore Balaam, mercede effuſi ſunt, & in con-
tradictione Core abierunt. 12 Hi ſunt in epu-
lis ſuis, maculæ, conuiuantes ſine timore, ſemet-
ipſos paſcentes, nubes ſine aqua, quæ à ventis
circunferuntur, arbores autumnales, infructuo-
ſæ, bis mortuæ, eradicatæ.

10 διὰ τοῦτο ἐὰν ἔλθω, ὑπομνήσω αὐτοῦ τὰ ἔργα ἃ
ποιεῖ, λόγοις πονηροῖς φλυαρῶν ἡμᾶς· καὶ μὴ ἀρκούμενος
ἐπὶ τούτοις, οὔτε αὐτὸς ἐπιδέχεται τοὺς ἀδελφούς, καὶ τοὺς
βουλομένους κωλύει, καὶ ἐκ τῆς ἐκκλησίας ἐκβάλλει.
11 ἀγαπητέ, μὴ μιμοῦ τὸ κακὸν, ἀλλὰ τὸ ἀγαθόν. ὁ ἀγα-
θοποιῶν ἐκ τοῦ θεοῦ ἐστιν· ὁ κακοποιῶν οὐχ ἑώρακε τὸν θεόν.
12 Δημητρίῳ μεμαρτύρηται ὑπὸ πάντων, καὶ ὑπ᾽
αὐτῆς τῆς ἀληθείας· καὶ ἡμεῖς δὲ μαρτυροῦμεν, καὶ οἴδατε
ὅτι ἡ μαρτυρία ἡμῶν ἀληθής ἐστι. 13 πολλὰ εἶχον
γράφειν, ἀλλ᾽ οὐ θέλω διὰ μέλανος καὶ καλάμου σοι γράψαι.
14 ἐλπίζω δὲ εὐθέως ἰδεῖν σε, καὶ στόμα πρὸς στόμα λα-
λήσομεν. 15 εἰρήνη σοι. ἀσπάζονταί σε οἱ φίλοι.
ἀσπάζου τοὺς φίλους κατ᾽ ὄνομα. Τέλος.

Η ΤΟΥ ΑΓΙΟΥ ΙΟΥΔΑ ΚΑΘΟ-
λικὴ Ἐπιστολή. Κεφ. α.

1 Ἰούδας Χριστοῦ Ἰησοῦ δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου,
τοῖς ἐν θεῷ πατρὶ ἡγιασμένοις, καὶ Ἰησοῦ Χριστῷ τε-
τηρημένοις, κλητοῖς· 2 ἔλεος ὑμῖν καὶ εἰρήνη καὶ ἀγάπη
πληθυνθείη. 3 ἀγαπητοί, πᾶσαν σπουδὴν ποιούμενος
γράφειν ὑμῖν περὶ τῆς κοινῆς σωτηρίας, ἀνάγκην ἔσχον γρά-
ψαι ὑμῖν, παρακαλῶν ἐπαγωνίζεσθαι τῇ ἅπαξ παραδοθείσῃ
τοῖς ἁγίοις πίστει. 4 παρεισέδυσαν γάρ τινες ἄνθρωποι,
οἱ πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ κρίμα, ἀσεβεῖς, τὴν
τοῦ θεοῦ ἡμῶν χάριν μετατιθέντες εἰς ἀσέλγειαν, καὶ τὸν
μόνον θεὸν καὶ δεσπότην τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν
ἀρνούμενοι. 5 ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι, εἰδότας
ὑμᾶς ἅπαξ τοῦτο, ὅτι ὁ κύριος λαὸν ἐκ γῆς Αἰγύπτου σώσας,
τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν. 6 ἀγγέ-
λους τε τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχὴν, ἀλλὰ ἀπο-
λιπόντας τὸ ἴδιον οἰκητήριον, εἰς κρίσιν μεγάλης ἡμέρας, δε-
σμοῖς ἀϊδίοις ὑπὸ ζόφον τετήρηκεν. 7 ὡς Σόδομα
καὶ Γόμορρα, καὶ αἱ περὶ αὐτὰς πόλεις, τὸν ὅμοιον τούτοις
τρόπον ἐκπορνεύσασαι, καὶ ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέ-
ρας, πρόκεινται δεῖγμα, πυρὸς αἰωνίου δίκην ὑπέχουσαι.
8 ὁμοίως μέντοι καὶ οὗτοι ἐνυπνιαζόμενοι, σάρκα μὲν
μιαίνουσι, κυριότητα δὲ ἀθετοῦσι, δόξας δὲ βλασφημοῦ-
σιν. 9 ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος, ὅτε τῷ διαβόλῳ
διακρινόμενος διελέγετο περὶ τοῦ Μωϋσέως σώματος, οὐκ
ἐτόλμησε κρίσιν ἐπενεγκεῖν βλασφημίας, ἀλλ᾽ εἶπεν, ἐπιτιμή-
σαι σοι κύριος. 10 οὗτοι δὲ ὅσα μὲν οὐκ οἴδασι, βλασφημοῦ-
σιν· ὅσα δὲ φυσικῶς ὡς τὰ ἄλογα ζῶα ἐπίστανται, ἐν τού-
τοις φθείρονται. 11 οὐαὶ αὐτοῖς, ὅτι τῇ ὁδῷ τοῦ Κάϊν
ἐπορεύθησαν, καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ ἐξεχύθησαν,
καὶ τῇ ἀντιλογίᾳ τοῦ Κορὲ ἀπώλοντο. 12 οὗτοί εἰσιν
ἐν ταῖς ἀγάπαις ὑμῶν σπιλάδες, συνευωχούμενοι ὑμῖν, ἀφόβως
ἑαυτοὺς ποιμαίνοντες· νεφέλαι ἄνυδροι, ὑπὸ ἀνέμων πε-
ριφερόμεναι, δένδρα φθινοπωρινά, ἄκαρπα, δὶς ἀποθα-
νόντα, ἐκριζωθέντα·

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN